# ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ ΟΙΚΟΙ ΚΑΤ’ ΑΛΦΑΒΗΤΟΝ ΥΠΟΘΕΣΙΝ ΕΧΟΝΤΕΣ ΤΗΝ ΕΝ ΣΠΗΛΑΙΩ ΓΕΝΝΗΣΙΝ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΘΕΟΥ ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ.

Κοντάκιον. Ήχος πλ. δ’.

Τη Υπερμάχω…

Τω δια σπλάχνα οικτιρμών ενανθρωπήσαντι, και εκ των κόλπων του Πατρός μη εκφοιτήσαντι, προσκομίσωμεν τον ύμνον ώσπερ οι Μάγοι˙ εν σπηλαίω γαρ ετέχθη ο Παντέλειος, και εν φάτνη ανεκλίθη ώσπερ νήπιον. Τούτω λέγοντες:

Δόξα Σώτερ τη Γεννήσει Σου.

Άγγελοι ουρανόθεν, την Σην Γέννησιν Λόγε, ανύμνουν χαρμοσύνως βοώντες˙ (Τρίς) Δόξα εν υψίστοις Θεώ, ότι εν γη γεννάται ο Υπέρθεος˙ μεθ’ ών δοξολογούμεν Σε, βοώντες Σοι Σώτερ τοιαύτα:

Δόξα, δι’ ού το σύμπαν συνέστη˙

Δόξα, δι’ ού ο ζόφος απέστη.

Δόξα, τη ανάρχω Γεννήσει Σου Άναρχε˙

Δόξα, τη εν χρόνω κυήσει Σου Άγιε.

Δόξα, εν υψίστοις άληκτος τω τεχθέντι επί γης˙

Δόξα, τω δι’ αγαθότητα σαρκωθέντι εξ Αγνής.

Δόξα, τω προ αιώνων εκ Πατρός γεννηθέντι˙

Δόξα, τω επ’ εσχάτων εκ Παρθένου τεχθέντι.

Δόξα, τω μόνω Θεώ και Δεσπόζοντι˙

Δόξα, τω μήτραν Παρθένου σκηνώσαντι.

Δόξα, δι’ ου ο Αδάμ ανεπλάσθη.

Δόξα, δι’ ου ο φθορεύς ανετράπη.

Δόξα Σώτερ τη Γεννήσει Σου.

Βίω και τω σαρκίω, έλαμψας Πανοικτίρμον, ως ηβουλήθης τω ανθρωπίνω. Τις Σου την πτωχείαν την πολλήν, δι’ ής ημάς επλούτισας αινέσεται; Εν γαρ σπηλαίω τέξεται, Ώ πάσα κτίσις αεί κράζει:

Αλληλούϊα.

Γέννησίν Σου την θείαν, εκ Παρθένου Αγίας, προβλέπων Ησαΐας εβόα˙ Παιδίον εγεννήθη ημίν, ου η αρχή επ’ ώμων ότι άναρχος˙ ημείς δε τη Γεννήσει Σου, ανακτισθέντες Σοι βοώμεν:

Δόξα, τη θεία Λόγε βουλή Σου˙

Δόξα, Οικτίρμον τοις οικτιρμοίς Σου.

Δόξα, τη αφάτω κενώσει Σου Κύριε˙

Δόξα, τη αρρήτω σαρκώσει Σου Εύσπλαχνε.

Δόξα, τω αναγεννήσαντι τον φθαρέντα δολερώς˙

Δόξα, τω ανακαινίσαντι τον πεσόντα χαλεπώς.

Δόξα, τω εκουσίως δι’ ημάς σαρκωθέντι.

Δόξα, τω την πτωχείαν του Αδάμ μορφωθέντι.

Δόξα, Όν φάτνη φέρει ως νήπιον˙

Δόξα, Όν πάντα μέλπει ως Κύριον.

Δόξα, τω ένδον σπηλαίου τεχθέντι˙

Δόξα, τω κόσμω ως οίδεν οφθέντι.

Δόξα Σώτερ τη Γεννήσει Σου.

Δόξα εν τοις υψίστοις, τω Θεώ και Σωτήρι, τω ήδη εν σπηλαίω, τεχθέντι, πληθύς ουρανίου στρατιάς, ανεβόων γεννηθέντος Σου Κύριε˙ ειρήνην γαρ ευδόκησας, Οικτίρμον δούναι τοις βοώσιν:

Αλληλούϊα.

Εν τη πόλει ετέχθη, του Δαβίδ Σωτήρ πάντων, εβόα οραθείς τοις Ποιμέσιν, Άγγελος εξαστράπτων φωτί, διο χαράς ευαγγέλια δέξασθε, και σπεύσατε θεάσασθαι, και βοήσαι τω Ζωοδότη:

Δόξα, ου άφατος η παρουσία˙

Δόξα, ου άρρητος η εξουσία.

Δόξα, τω ελθόντι σαρκί εις τα ίδια˙

Δόξα, τω ελόντι του κόσμου τα πήματα.

Δόξα, τω σαρκός και αίματος κοινωνήσαντι ημίν˙

Δόξα, τω θνητοίς δωρήσαντι την αθάνατον ζωήν.

Δόξα, τω πριν το είναι κατ’ αρχάς ημίν δόντι˙

Δόξα, τω νυν τοις πάσι το εύ είναι μορφούντι.

Δόξα, Όν είδον Ποιμένες άγραυλοι˙

Δόξα, Όν σπαργάνοις τω ενειληθέντι˙

Δόξα, δι’ οίκτον τω διαπλασθέντι.

Δόξα Σώτερ τη Γεννήσει Σου.

Ζέσει και αγλαΐα, ης είδον οπτασίας, πτερωθέντες οι Ποιμένες είπον˙ διέλθωμεν έως Βηθλεέμ, ένθα ευρόντες τον Χριστόν ως νήπιον, πεσόντες προσεκύνησαν, τω καλώ Ποιμένι βοώντες:

Αλληλούϊα.

Ήκουσεν η Παρθένος, των ακάκων Ποιμένων, ών περ κατείδον εξηγουμένων, ταύτα δε ετήρει τη ψυχή, τον Χριστόν οία περ βρέφος βαστάζουσα, Ώ, αίνεσιν την έμπρακτον, προσήγον οι Ποιμένες βοώντες:

Δόξα, τω φάτνη ανακλιθέντι˙

Δόξα, τω κόσμω επιφανέντι.

Δόξα, τω οφθέντι σαρκός ομοιώματι˙

Δόξα, τω πλασθέντι αφράστω χρηστότητι.

Δόξα, τω άνω αμήτορι εκ Πατρός ομοφυούς˙

Δόξα, τω κάτω απάτορι εκ Μητρός της γηγενούς.

Δόξα, τω εκ Ποιμένων την αίνεσιν δεξαμένω˙

Δόξα, τω υπ’ Αγγέλων απαύστως δοξαζομένω.

Δόξα, δι’ ού αράς ελυτρώθημεν˙

Δόξα, δι’ ού Πατρί ωκειώθημεν.

Δόξα, Χριστώ τω οικτίρμονι Λόγω˙

Δόξα, φωτός τω πληρούντι τον κόσμον.

Δόξα Σώτερ τη Γεννήσει Σου.

Θάμβους πεπληρωμένοι, εν ών ήκουσαν και είδον, υπέστρεψαν τη εαυτών ποίμνη, Ποιμένες οι όντως αγαθοί, αινούντες και ευλογούντες τον Κύριον, σαρκί προσομιλήσαντα, προς σωτηρίαν των βοώντων:

Αλληλούϊα.

Ίδον ξένου αστέρος, Μάγοι οι εκ Περσίδος, την έλαμψιν την ούσαν αήθη˙ ώ και χρησάμενοι οδηγώ, προς Βηθλεέμ την πόλιν παραγένοντο, Χριστόν το φως το άδυτον, ζητούντες θερμώς και βοώντες:

Δόξα, Ηλίω τω ανεσπέρω˙

Δόξα, Κυρίω τω υπερθέω.

Δόξα, τω πληρούντι τα πάλαι αινίγματα˙

Δόξα, τω θεούντι το βρότειον πρόσλημμα.

Δόξα, τω σαυτόν κενώσαντι ακενώτως επί γης˙

Δόξα, τω ημάς καθάραντι αρχεγονικής πληγής.

Δόξα, τη προσδοκία των εθνών τη γλυκεία˙

Δόξα, τη ευσπλαχνία Ιησού τη οικεία.

Δόξα, φωτί τω κόσμω φωτίζοντι˙

Δόξα, σαρκί ημίν ενδημήσαντι.

Δόξα, δι’ ού εγεγόνει τα πάντα˙

Δόξα, προς Όν ανακράζομεν άμα.

Δόξα Σώτερ τη Γεννήσει Σου.

Κήρυκες εν τη πόλει, τη Σιών θεοφόροι, οι Μάγοι αληθώς γεγονότες, Πού ετέχθη έλεγον Χριστός, ου ο αστήρ εν Εώα τεθέαται; Άλλ’ Ηρώδης εμαίνετο, μη συνείς βοάν τω τεχθέντι:

Αλληλούϊα.

Λάθρα τότε καλέσας, ο Ηρώδης τους Μάγους, επέσκηπτεν αυτοίς μετά δούλου. Πορευθέντες εύρατε Χριστόν, και αναγγείλατέ μοι το μυστήριον˙ αλλά κενώς βεβούλευται˙ οι γαρ Μάγοι Χριστώ εβόων:

Δόξα, Σωτήρι τω Θεανθρώπω˙

Δόξα, Κυρίω τω αρχιζώω.

Δόξα, τω τους Μάγους λαμπρώς οδηγήσαντι˙

Δόξα, τω Ηρώδην εις τέλος αισχύναντι.

Δόξα, τω αστέρα λάμψαντι εν Περσίδι τον καινόν˙

Δόξα, τω σοφώς πληρώσαντι Βαλαάμ σαφή χρησμόν.

Δόξα, τω εξ Ιούδα κατά σάρκα τεχθέντι˙

Δόξα, τω προ αιώνων εκ Πατρός γεννηθέντι.

Δόξα, τω σώσαντι βροτών σύγκριμα˙

Δόξα, τω παύσαντι εχθρού φρύαγμα.

Δόξα, τω ποίμνην τελέσαντι μίαν˙

Δόξα, τω χάριν βραβεύσαντι θείαν.

Δόξα Σώτερ τη Γεννήσει Σου.

Μάγων δώρα εδέξω, εν αγκάλαις ως βρέφος, κρατούμενος Σωτήρ της Παρθένου, λίβανον και σμύρναν και χρυσόν, το Σον κράτος εμφανώς τεκμαιρόμενα˙ ως γαρ θεώ και άνακτι, και δι’ ημάς νεκρώ Σοι ήδον:

Αλληλούϊα.

Νύκτωρ Άγγελος θείος,εξ αΰλων αψίδων, τοις Μάγοις επιστάς χρηματίζει. Απέλθετε οίκαδε ταχύ, τον Ηρώδην αφέντες φρυαττόμενον˙ οι δε τω λόγω είξαντες, προσεφώνουν αναχωρούντες:

Δόξα, Χριστώ τω σεσαρκωμένω˙

Δόξα, Θεώ τω βεβροτωμένω.

Δόξα, τω εν είδει βροτών ομιλήσαντι˙

Δόξα, τω την πάλαι απόφασιν λύσαντι.

Δόξα, τω τα όντα σύμπαντα περιέχοντι δρακί˙

Δόξα, τω εκ Κόρης φάναντι, ήν διέπλασας σαρκί.

Δόξα, τω κρατουμένω εν χερσί της Παρθένου˙

Δόξα, τω ορωμένω εν μορφή του σφαλέντος.

Δόξα, τω ούτως επευδοκήσαντι˙

Δόξα, τω κόσμον καταφωτίσαντι.

Δόξα, νηπίω τω πάντα τελούντι˙

Δόξα, Κυρίω Αδάμ τω ζωούντι.

Δόξα Σώτερ τη Γεννήσει Σου.

Ξίφη ηκονημένα, ο Ηρώδης εκτείνας, εθέρισε νηπίων την χλόην, τον της ζωής στάχυν ο δεινός, πειρώμενος χειρώσασθαι τον άληπτον, τα βρέφη δε σφαττόμενα, υπέψαλλον τω βρεφωθέντι:

Αλληλούϊα.

Όναρ λαμπρός επέστη, ουρανίω κελεύσει, Ασώματος τω Ιωσήφ λέγων. Παραλαβών άπιθι σπουδή, το τεχθέν συν Παρθένω εις Αίγυπτον˙ ο δε τελών το πρόσταγμα, εβόα τω νηπίω Λόγω:

Δόξα, Υιέ Πατρός Υπερθέου˙

Δόξα, βλαστέ Μητρός απειράνδρου.

Δόξα, τω τα νήπια μάρτυρας δείξαντι˙

Δόξα, τω εις Αίγυπτον αναχωρήσαντι.

Δόξα, τω Ηρώδου άνοιαν στηλιτεύσαντι στερρώς˙

Δόξα, τω Αιγύπτου ξόανα καθελόντι ισχυρώς.

Δόξα, τω θεουργούντι του Αδάμ την ουσίαν˙

Δόξα, τω εκνευρούντι του εχθρού την μανίαν.

Δόξα, Σοι Λόγε Θεέ και άνθρωπε˙

Δόξα, Σοι Σώτερ ζωαρχικώτατε.

Δόξα, βροτούς της αράς ρυομένω˙

Δόξα, Χριστώ τω αεί υμνουμένω.

Δόξα Σώτερ τη Γεννήσει Σου.

Πεζοπόρον οδείαν, ευσεβεί διανοία, ο μνήστωρ Ιωσήφ διανύσας, κατήγαγεν εν Αιγύπτω γη, τον την γην και ουρανόν τεκτηνάμενον, σαρκί προσομιλήσαντα, προς σωτηρίαν των βοώντων:

Αλληλούϊα.

Ρήσις του Ησαΐου, εκπληρούται του θείου, βοώντος διατόρως Σωτήρ μου˙ Ιδού επί νεφέλης κούφης, κάθηται Χριστός και ήξει εις Αίγυπτον, σείων ταύτης τα είδωλα, και χάριν νέμων τοις βοώσι:

Δόξα, τω άνω προσκυνουμένω˙

Δόξα, τω κάτωθι τιθηνουμένω.

Δόξα, τω Προφήταις εν τύποις λαλήσαντι˙

Δόξα, τω αρτίως ημίν ενδημήσαντι.

Δόξα, τω πλουσίως χέοντι ευσπλαχνίας την πηγήν˙

Δόξα, τω Αδάμ υφαίνοντι αφθαρσίας την στολήν.

Δόξα, τω Ζωοδότη και Παντάνακτι Λόγω˙

Δόξα, τω Παντεπόπτη άμα και Φιλανθρώπω.

Δόξα, Κυρίω τω νηπιάσαντι˙

Δόξα, τω γάλα ήδη θηλάσαντι.

Δόξα, τω χείρον εκόντι λαβόντι˙

Δόξα, τω κρείττον ημίν μεταδόντι.

Δόξα Σώτερ τη Γεννήσει Σου.

Σώσον πάντας Οικτίρμον, ως Θεός ελεήμων, τους πίστει ακλινείκαι τελεία, της Σης Γεννήσεως καθ’ ημάς, προσκυνούντας το άρρητον μυστήριον˙ δι’ ημάς γαρ σεσάρκωσαι, ίνα σώσης τους Σοι βοώντας:

Αλληλούϊα.

Των σοφών Προφητών Σου, άγων Σώτερ εις πέρας, τα πάλαι λαληθέντα εν τύποις, εξ Αιγύπτου εις γην Ισραήλ, ανήλθες ο τω Πατρί συναΐδιος˙ εν Ναζαρέτ δε ώκησας, προς σωτηρίαν των ψαλλόντων:

Δόξα, τω λύτη φθοράς βροτείας˙

Δόξα, τω δότη παλινζωΐας.

Δόξα, τω αρχαίαν βουλήν εκπληρώσαντι˙

Δόξα, τω πεσόντα Αδάμ ανυψώσαντι.

Δόξα, τω ενανθρωπήσαντι, μη τραπέντι δε ό ήν˙

Δόξα, τω αναμορφώσαντι την βασίλειον μορφήν.

Δόξα, τω εξ Αιγύπτου Γαλιλαίαν οικούντι˙

Δόξα, τω Ναζωραίος την κλήσιν καταδεχθέντι.

Δόξα, τω ρείθρα ελέους νέμοντι˙

Δόξα, τω κόσμου την πτώσιν αίροντι.

Δόξα, Σοι Βρέφος τω πάντων αιτίω˙

Δόξα, Σοι τέκος Πατρί ομοτίμω.

Δόξα Σώτερ τη Γεννήσει Σου.

Ύψιστε Παντοκράτορ, Βασιλεύ των αιώνων, τίς η περί ημάς Σου πτωχεία; Αλλά πώς εξείπωμεν Χριστέ, της Σης οικονομίας την εμφάνειαν; Γέννησιν γαρ και σπάργανα εδέξω υπέρ των βοώντων:

Αλληλούϊα.

Φως υπέρφωτον πέλων, εκ φωτός υπερθέου, υπέρθεε Χριστέ φωτοκράτορ, τοις εν σκότει πάλαι και σικά, σαρκός εν είδει εκ Παρθένου έλαμψας, και προς το φως το άδυτον, ωδήγησας τους εκβοώντας:

Δόξα, Σοι φάος τω Υπερθέω˙

Δόξα, Σοι φέγγος τω αρχιφώτω.

Δόξα, τω της πλάνης την ζόφωσιν λύσαντι.

Δόξα, τω σοφώς ποιήσαντι αστραπάς Αγγελικάς˙

Δόξα, τω ημίν βραβεύσαντι ζωηφόρους δωρεάς.

Δόξα, τω σαρκωθέντι δι’ ημάς ασυγχύτως˙

Δόξα, τω ενδυθέντι τον Αδάμ ολοκλήρως.

Δόξα, τω κόσμον ανακαλέσαντι˙

Δόξα, τω δόλιον δελεάσαντι.

Δόξα, Όν πάντα υμνεί και δοξάζει˙

Δόξα, Όν φάτνη χωρεί εν σπαργάνοις.

Δόξα Σώτερ τη Γεννήσει Σου.

Χάριν Λόγε χαρίζου, και πταισμάτων την λύσιν, και βίου του βελτίονος κτήσιν, ημίν τοις λατρευταίς Σου Σωτήρ, ως αν εναρέτως πολιτευσάμενοι, της Σης λαμπράς ελλάμψεως, μετάσχωμεν συνεκβοώντες:

Αλληλούϊα.

Ψάλλοντες Πανοικτίρμον, τον Σον άχραντον Τόκον, υμνούμεν Σε τον Κτίστην των όλων, τον σάρκα ειληφότα θνητήν, και τον θανόντα απαθανατίσαντα˙ και τοις πολλοίς οικτιρμοίς Σου, θαρρούντές Σοι αναβοώμεν:

Δόξα, Όν φρίσσει Αγγέλων τάξις˙

Δόξα, Όν φέρει ως βρέφος φάτνη.

Δόξα, δι' Ού πάντα παρήχθη προς γένεσιν˙

Δόξα, δι' Ού κόσμος εκλήθη προς θεώσιν.

Δόξα, και μεγαλοπρέπεια τη Γεννήσει Σου Χριστέ˙

Δόξα, και λατρεία άδολος πρέπει Σοι Παμβασιλεύ.

Δόξα, τω κενωθέντι μέχρι δούλου αξίας˙

Δόξα, τω μη εκστάντι της οικείας ουσίας.

Δόξα, τω δούλην Μητέρα δείξαντι˙

Δόξα, τω ταύτην αγνήν τηρήσαντι.

Δόξα, τω πάλιν εν γη ερχομένω˙

Δόξα, Ώ, μόνω ζω, πνω, και λατρεύω.

Δόξα Σώτερ τη Γεννήσει Σου.

Ώ Υπέρθεε Λόγε, υπερούσιε Σώτερ, απάντων Ποιητά των αιώνων, (τρις) προσδέχου ημών τας προσευχάς, εν ιλαρότητι ευσπλαχνικώτατε, και της μελλούσης δόξης Σου, αξίωσον τους συμβοώντας:

Αλληλούϊα.

Και αύθις το Κοντάκιον

Ήχος Πλ. δ'. Τη Υπερμάχω…

Τω δια σπλάχνα οικτιρμών ενανθρωπήσαντι, και εν των κόλπων του Πατρός μη εκφοιτήσαντι, προσκομίσωμεν τον ύμνον ώσπερ οι Μάγοι˙ εν σπηλαίω γαρ ετέχθη ο Παντέλειος, και εν φάτνη ανεκλίθη ώσπερ νήπιον. Τούτω λέγοντες:

Δόξα Σώτερ τη Γεννήσει Σου.